εἶναι, εὐθὺς ἀποπηδήσαντε Σωκράτου ἐπραττέτην τὰ
πολιτικά, ὧνπερ ἕνεκα Σωκράτους ὠρεχθήτην.

Ἴσως οὖν εἴποι τις ἂν πρὸς ταῦτα ὅτι ἐχρῆν τὸν 17
Σωκράτη μὴ πρότερον τὰ πολιτικὰ διδάσκειν τοὺς
συνόντας ἢ σωφρονεῖν. ἐγὼ δὲ πρὸς τοῦτο μὲν οὐκ
ἀντιλέγω· πάντας δὲ τοὺς διδάσκοντας ὁρῶ αὐτοὺς
δεικνύντας τε τοῖς μανθάνουσιν ᾗπερ αὐτοὶ ποιοῦσιν
ἃ διδάσκουσι καὶ τῷ λόγῳ προσβιβάζοντας. οἶδα δὲ 18
καὶ Σωκράτη δεικνύντα τοῖς συνοῦσιν ἑαυτὸν καλὸν
καγαθὸν ὄντα καὶ διαλεγόμενον κάλλιστα περὶ ἀρετῆς
καὶ τῶν ἄλλων ἀνθρωπίνων. οἶδα δὲ κἀκείνω σω-
φρονοῦντε, ἔστε Σωκράτει συνήστην, οὐ φοβουμένω
μὴ ζημιοῖντο ἢ παίοιντο ὑπὸ Σωκράτους, ἀλλ' οἰομένω
τότε κράτιστον εἶναι τοῦτο πράττειν.

Ἴσως οὖν εἴποιεν ἂν πολλοὶ τῶν φασκόντων φι- 19
λοσοφεῖν ὅτι οὐκ ἄν ποτε ὁ δίκαιος ἄδικος γένοιτο,
οὐδὲ ὁ σώφρων ὑβριστής, οὐδὲ ἄλλο οὐδὲν ὧν μάθησίς
ἐστιν ὁ μαθὼν ἀνεπιστήμων ἄν ποτε γένοιτο. ἐγὼ
δὲ περὶ τούτων οὐχ οὕτω γιγνώσκω· ὁρῶ γὰρ ὥσπερ
τὰ τοῦ σώματος ἔργα τοὺς μὴ τὰ σώματα ἀσκοῦντας
οὐ δυναμένους ποιεῖν, οὕτω καὶ τὰ τῆς ψυχῆς ἔργα
τοὺς μὴ τὴν ψυχὴν ἀσκοῦντας οὐ δυναμένους· οὔτε
γὰρ ἃ δεῖ πράττειν οὔτε ὧν δεῖ ἀπέχεσθαι δύνανται.
διὸ καὶ τοὺς υἱεῖς οἱ πατέρες, κἂν ὦσι σώφρονες, ὅμως 20

---

2 ἕνεκα ⟨καὶ⟩ Dobree ὀρεχθήτην **AB** 3 πρὸς s. v. **M**$^{1}$ χρῆν **MOXYZ** 6 αὐτοὺς **AΦ** 7 μαθήμασιν **Z** 8 προσβιάζοντας **B**$^{1}$ προβιβάζοντας **RXZ** 9 ξυνοῦσιν codd. 11 ὡς σωφρονοῦντέ τε Σ. **Z** σωφρονοῦντες τὲ Σ. **A** 12 συνήτην **OZ** 15 οὖν] ἂν **R**, om. **XZ** ἂν εἴποιεν **X**, ἂν om. **A** 16 γένηται **X** 17 οὔτε ὁ **RZ** ὧν ἂν Stob. III 656 **M** 18 γένοιτο] alt. ο ex corr. **M** γένοιτ' ἂν πώποτε **Y** 21 τὰ om. **X** 23 ὧν δὴ **X** 24 καὶ om. Stob. ὦσι μὴ **B**$^{2}$ εἴργουσιν ἀπὸ τῶν π. ἀ. ὅμως **MORX** (ὅμως om.) **Z** εἴργουσιν ὅμως ἀπὸ τῶν π. ἀ. **Y** ὅμως del. Breit.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id408458038/21 UNIVERSITÄT LEIPZIG